καὶ ᾀθησομένην δὲ καὶ εἰς τὰς μετὰ ταῦτα γενεάς. Οὕτως οὖν ὅταν μηδεὶς ἑαυτὸν ἀδικῇ, οὐδὲν παρ' ἑτέρου βλαβῆναι δυνήσεται. οὐ γὰρ παύσομαι συνεχῶς τοῦτο ἐπᾴδων τὸ ῥῆμα. εἰ γὰρ αἰχμαλωσία, καὶ δουλεία, καὶ μόνωσις καὶ πατρίδος ἀποβολὴ, καὶ τῶν οἰκείων ἁπάντων, ὁ θάνατος, ὁ ἐμπρησμὸς, ἢ στρατόπεδον τοσοῦτον, ἢ τύραννος οὕτως ὠμὸς οὐκ ἴσχυσαν παῖδας τρεῖς νέους, αἰχμαλώτους, δούλους, ξένους, ἐπ' ἀλλοτρίας ὄντας λυμήνασθαι εἰς τὴν οἰκείαν αὐτῶν ἀρετὴν, ἀλλὰ καὶ μείζονος αὐτοῖς παῤῥησίας γέγονε πρόφασις ἡ ἐπιβουλή· τί τὸν νήφοντα παραβλάψαι δυνήσεται; οὐκ ἔστιν οὐδὲν, κἂν πᾶσαν τὴν οἰκουμένην ἔχῃ πολεμοῦσαν αὐτῷ.

*tabitur etiam in postera secula. Sic ergo si nemo se ipsum lædat, ab alio lædi non poterit. non enim cessabo hoc dictum continenter decantare. Nam si captiuitas, seruitus, solitudo, patriæ amissio, & omnium cognatorum, mors, incendium, tantus exercitus, tyrannus tam crudelis non valuerunt tribus pueris, iuuenibus, captiuis, seruis, peregrinis, in aliena regione versantibus quicquam nocere quoad suam ipsorũ virtutem; sed maioris etiam loquendi libertatis occasio fuerunt illæ insidiæ: quid sobrium lædere poterit? non est quidquam, etsi totum orbem aduersarium haberet.*